δὴ καὶ πόλει χρωμένων μεγάλῃ καὶ σχολῆς μᾶλλον ἐν
βιβλίοις πολλοῖς καὶ παντοδαπαῖς διατριβαῖς εὐπορούντων.
ὁ δ᾽ οὖν φίλος Ἀπόλλων ἔοικε τὰς μὲν περὶ τὸν βίον
ἀπορίας ἰᾶσθαι καὶ διαλύειν θεμιστεύων τοῖς χρωμένοις,
F τὰς δὲ περὶ τὸν λόγον αὐτὸς ἐνιέναι καὶ προβάλλειν τῷ
φύσει φιλοσόφῳ τῆς ψυχῆς ὄρεξιν ἐμποιῶν ἀγωγὸν ἐπὶ
τὴν ἀλήθειαν, ὡς ἄλλοις τε πολλοῖς δῆλόν ἐστι καὶ τῇ
[περὶ] τοῦ εἶ καθιερώσει. τοῦτο γὰρ εἰκὸς οὐ κατὰ τύχην
οὐδ᾽ οἷον ἀπὸ κλήρου τῶν γραμμάτων μόνον ἐν προεδρίᾳ
385 παρὰ τῷ θεῷ γενέσθαι | καὶ λαβεῖν ἀναθήματος τάξιν
ἱεροῦ καὶ θεάματος, ἀλλ᾽ ἢ δύναμιν αὐτοῦ κατιδόντας
ἰδίαν καὶ περιττὴν ἢ συμβόλῳ χρωμένους πρὸς ἕτερόν τι
τῶν ἀξίων σπουδῆς τοὺς ἐν ἀρχῇ περὶ τὸν θεὸν φιλοσοφή-
σαντας οὕτω προσέσθαι. πολλάκις οὖν ἄλλοτε τὸν λόγον
ἐν τῇ σχολῇ προβαλλόμενον ἐκκλίνας ἀτρέμα καὶ παρελθὼν
ἔναγχος ὑπὸ τῶν υἱῶν ἐλήφθην ξένοις τισὶ συμφιλοτιμουμέ-
νων, οὓς εὐθὺς ἐκ Δελφῶν ἀπαίρειν μέλλοντας οὐκ ἦν εὐπρε-
πὲς παράγειν οὐδὲ παραιτεῖσθαι πάντως ἀκοῦσαί τι προ-
θυμουμένους. ὡς δὲ καθίσας παρὰ τὸν νεὼν τὰ μὲν αὐτὸς
B ἠρξάμην ζητεῖν τὰ δ᾽ ἐκείνους ἐρωτᾶν, ὑπὸ τοῦ τόπου καὶ
τῶν λόγων αὐτῶν ⟨ἀνεμνήσθην⟩ ἃ πάλαι ποτὲ καθ᾽ ὃν
καιρὸν ἐπεδήμει Νέρων ἠκούσαμεν Ἀμμωνίου καί τινων
ἄλλων διεξιόντων ἐνταῦθα τῆς αὐτῆς ἀπορίας ὁμοίως ἐμ-
πεσούσης.

**2.** Ὅτι μὲν γὰρ οὐχ ἧττον ὁ θεὸς φιλόσοφος ἢ μάντις,
ἐδόκει πᾶσιν ὀρθῶς πρὸς τοῦτο τῶν ὀνομάτων ἕκαστον
Ἀμμώνιος τίθεσθαι καὶ διδάσκειν, ὡς Πύθιος μέν ἐστι